# Ο ΜΑΚ. ΠΑΤΡΙΑΡΧΗΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ κ. ΠΕΤΡΟΣ

Ἀριθμ. Πρωτ. 144

Μακαριώτατε Ἀρχιεπίσκοπε Ἀθηνῶν καὶ πάσης Ἑλλάδος, ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τιμιώτατε τῆς ἡμῶν Μετριότητος κύριε Χριστόδουλε, τὴν Ὑμετέραν Μακαριότητα ἐν Κυρίῳ κατασπαζόμενοι ὑπερήδιστα προσαγορεύομεν.

Τῆς φωτομόρφου Ἀνατολῆς τῶν ἀνατολῶν μέτοχοι γενόμενοι, «*ὄρθρου βαθέος*», ἐν τῇ προσεγγίσει τῶν θυσιαστηρίων τῆς ἕως θανάτου ἀγάπης τοῦ ἐξ οὐρανοῦ κατελθόντος καὶ σαρκωθέντος ἐξ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ πολλὰ παθόντος καὶ τέλος σταυρωθέντος, καὶ ταφέντος «*ἐν καινῷ μνημείῳ λελατομημένῳ ἐκ πέτρας*», οὗ ὑποτυπώσεις τὰ ὡς ἄνω θυσιαστήρια, καταξιούμεθα καὶ εἰς αὐτὴν τὴν «*κλητὴν καὶ ἁγίαν ἡμέραν, τὴν μίαν τῶν Σαββάτων, τὴν Βασιλίδα καὶ Κυρίαν*», ἵνα ἴδωμεν καὶ ψηλαφήσωμεν Αὐτὸν ἐκ νεκάδων Ἀναστάντα καὶ συνεγείραντα τοὺς ἀπ' αἰῶνος κεκοιμημένους, ὥστε κενὸν ἀφιέναι τὸν ταλανίζοντα τὸ τῶν βροτῶν γένος δεινὸν Ἅδην.

Καὶ «*τὰ ἱμάτια Αὐτοῦ ἐρυθρὰ καὶ τὰ ἐνδύματα Αὐτοῦ ὡς ἀπὸ πατητοῦ ληνοῦ*», «*καὶ οὕτως ὡραῖος ἐν στολῇ Αὐτοῦ*» φωταγωγῶν «*οὐρανόν τε καὶ γῆν καὶ τὰ καταχθόνια*».

Ἴδωμεν Αὐτὸν μερίζοντα ἑνὶ ἑκάστῳ τῶν τέκνων τῆς Ἁγιοτόκου Ἐκκλησίας Φῶς ἄχρονον, φωτίζον μὲν ψυχὰς καὶ σώματα, ζῶντας τε καὶ τεθνεῶτας, ἀναπλάττον δὲ «*κόσμον ὁρατόν τε πάντα καὶ ἀόρατον*», ὥστε κατανοεῖν καὶ ἐπιλύειν τὸ τοῦ Ἠσαΐου σκιῶδες: «*Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν, οὐ πρέσβυς, οὐδὲ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθε αὐτῶν. Αὐτὸ ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὑπερύψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος*».

Τούτου τοῦ Φωτὸς καὶ τοῦ θάμβους Αὐτοῦ πληρούμενοι, ἔμπλεοι τῆς πρὸς Αὐτὸν δοξολογίας, τρεπόμεθα αὖθις εἰς τὴν πτωχὴν ταύτην καὶ πενιχρὰν ἐπικοινωνίαν τῶν μετὰ χεῖρας ἀδελφικῶν ἡμῶν Γραμμάτων, «*ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη*» καὶ τελεία, καὶ παραμυθήσωμεν τὴν βαθεῖαν ἡμῶν λύπην διὰ τοὺς μακρὰν τούτου τοῦ Φωτὸς ἤδη εὑρισκομένους καὶ ὡς «*ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους*» ἀδελφοὺς ἡμῶν.

Τοῦτο ποιοῦμεν ἕνεκα τῆς βεβαίας ἐλπίδος ἡμῶν, ὅτι ἡ ἀγάπη καὶ ἡ εὐχὴ τῶν ἀδελφῶν ὀχυρώση ἡμᾶς κατὰ τὸ ῥηθέν: «*ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά*», ἕως οὗ ὁ τοῦ θερισμοῦ Κύριος καὶ τοῦ μυστικοῦ ἀμπελῶνος Κτίτωρ «*ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμόν*», ὅτι ἐν τῇ Ἀφρικανικῇ Ἠπείρῳ «*αἱ χῶραι ἡμῶν λευκαί εἰσιν πρὸς θερισμὸν*» καὶ «*ὁ θερισμὸς ἡμῶν πολύς, οἱ δὲ ἐργάται ὀλίγοι*».

Ἐπὶ τούτοις, τὸν ἀναστάσιμον ἀνταλλάσοντες παιάνα «Χριστὸς Ἀνέστη» καὶ ἀπονέμοντες τῇ Ὑμετέρᾳ περισπουδάστῳ Μακαριότητι θερμοὺς ἐν Κυρίῳ Ἀναστάντι ἑορτίους ἀσπασμούς, διατελοῦμεν μετὰ τῆς ἐν Αὐτῷ ἀγάπης καὶ τιμῆς ἐξιδιασμένης.

Τῆς Ὑμετέρας γερασμίας Μακαριότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς
† Ὁ Ἀλεξανδρείας ΠΕΤΡΟΣ

Ἐν τῇ Μεγάλῃ Πόλει
τῆς Ἀλεξανδρείας
Ἅγιον Πάσχα 2001